ΚΡ. ἔκριν᾽ ὁ δαίμων, παρθέν᾽, οὐχ ἃ σοὶ δοκεῖ.
ΑΝ. κἀκεῖνο κέκριται, μὴ ἐφυβρίζεσθαι νεκρούς.
ΚΡ. ὡς οὔτις ἀμφὶ τῷδ᾽ ὑγρὰν θήσει κόνιν.
ΑΝ. ναὶ πρός σε τῆσδε μητρὸς Ἰοκάστης, Κρέον.
ΚΡ. μάταια μοχθεῖς· οὐ γὰρ ἂν τύχοις τάδε.
ΑΝ. σὺ δ᾽ ἀλλὰ νεκρῷ λουτρὰ περιβαλεῖν μ᾽ ἔα.
ΚΡ. ἓν τοῦτ᾽ ἂν εἴη τῶν ἀπορρήτων πόλει.
ΑΝ. ἀλλ᾽ ἀμφὶ τραύματ᾽ ἄγρια τελαμῶνας βαλεῖν.
ΚΡ. οὐκ ἔσθ᾽ ὅπως σὺ τόνδε τιμήσεις νέκυν.
ΑΝ. ὦ φίλτατ᾽, ἀλλὰ στόμα γε σὸν προσπτύξομαι.
ΚΡ. οὐ μὴ ᾽ς γάμους σοὺς συμφορὰν κτήσει γόοις;
ΑΝ. ἦ γὰρ γαμοῦμαι ζῶσα παιδὶ σῷ ποτε;
ΚΡ. πολλή σ᾽ ἀνάγκη· ποῖ γὰρ ἐκφεύξει λέχος;
ΑΝ. νὺξ ἆρ᾽ ἐκείνη Δαναΐδων μ᾽ ἕξει μίαν.
ΚΡ. εἶδες τὸ τόλμημ᾽ οἷον ἐξωνείδισεν;
ΑΝ. ἴστω σίδηρος ὅρκιόν τέ μοι ξίφος.
ΚΡ. τί δ᾽ ἐκπροθυμεῖ τῶνδ᾽ ἀπηλλάχθαι γάμων;
ΑΝ. συμφεύξομαι τῷδ᾽ ἀθλιωτάτῳ πατρί.
ΚΡ. γενναιότης σοι, μωρία δ᾽ ἔνεστί τις.
ΑΝ. καὶ ξυνθανοῦμαί γ᾽, ὡς μάθῃς περαιτέρω.
ΚΡ. ἴθ᾽, οὐ φονεύσεις παῖδ᾽ ἐμόν, λίπε χθόνα.
ΟΙ. ὦ θύγατερ, αἰνῶ μέν σε τῆς προθυμίας
ΑΝ. ἀλλ᾽ εἰ γαμοίμην, σὺ δὲ μόνος φεύγοις, πάτερ
ΟΙ. μέν᾽ εὐτυχοῦσα, τἄμ᾽ ἐγὼ στέρξω κακά.
ΑΝ. καὶ τίς σε τυφλὸν ὄντα θεραπεύσει, πάτερ;
ΟΙ. πεσὼν ὅπου μοι μοῖρα κείσομαι πέδῳ.
ΑΝ. ὁ δ᾽ Οἰδίπους ποῦ καὶ τὰ κλείν᾽ αἰνίγματα;
ΟΙ. ὄλωλ᾽· ἓν ἦμάρ μ᾽ ὤλβισ᾽, ἓν δ᾽ ἀπώλεσεν.
ΑΝ. οὔκουν μετασχεῖν κἀμὲ δεῖ τῶν σῶν κακῶν;
ΟΙ. αἰσχρὰ φυγὴ θυγατρὶ σὺν τυφλῷ πατρί.
ΑΝ. οὔ, σωφρονούσῃ γ᾽, ἀλλὰ γενναία, πάτερ.
ΟΙ. προσάγαγέ νύν με, μητρὸς ὡς ψαύσω σέθεν.

---

1662. ὥς σοι C 1663. κἀκεῖνο AF κἀκεῖνα ceteri. 1672. οὐ μὴ ᾽ς] οὐκ εἰς libri. 1684. φεύγοις A φεύγεις ceteri. 1687. πέδῳ ABFC θανών Ebc 1689. schol.: γράφεται — ἠδ᾽ ἀπώλεσεν. 1690. κἀμὲ δεῖ] Byzantini, δεῖ κἀμέ libri. 1691. πατρὶ τυφλῷ C